eul_wid: kms-aa

*Χρύσιππος ὁ Σολεύς* · Chrysippus of Soli

# Fragments of Chrysippus-Homeric Poems

*Χρυσίππου Ἀποσπάσματα εἰς Ὁμηρικὰ Ἔπη*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (phi, frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Stoic

769 Scholia in Homeri Iliadem A 129. Ζώϊλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητὴν ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῶσι φασὶ πληθυντικόν· ἀγνοοῦσι δὲ etc.

770 Scholia in Homeri. Iliad. A 405. ὅς ῥα παρὰ Κρονίωνι· ὅτι ἐντεῦθεν ἐπὶ τοῦ Ἄρεως λέγεται οὐκ ὀρθῶς (1. Il. E 906) Ὅμηρος δέ, ὡς Στωϊκός, Ποσειδῶνος αὐτὸν εἶναί φησι.

771 Scholia in Hom. Iliad. Θ 441. ἀμβωμοῖσι· Χρύσιππος ὑφ’ ἓν προφέρεται, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου etc. Etymol. Magn. s. v. ἀμβωμοῖσιν· ἀντὶ τοῦ περὶ τοῖς βωμοῖς. Χρύσιππος ὑφ’ ἓν προφέρει, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου.

772 Scholia ad Hom. Iliad. K 252. Χρύσιππος δὲ ὥσπερ εἴ τις, φησί, περὶ τριῶν ἡμερῶν διαλεγόμενος ἐν τῇ τρίτῃ λέγει μίαν ἀπολείπεσθαι ἔτι ἡμέραν, κἂν μὴ περὶ ὄρθρον ποιῆται τοὺς λόγους, οὕτως καὶ τὸν Ὀδυσσέα εἰ καὶ πλέον ἦν παρῳχηκὸς τῶν δύο μοιρῶν τὴν τρίτην φάναι καταλείπεσθαι, ἐπειδὴ τριμεροῦς οὔσης τῆς νυκτὸς ἕκαστον μέρος ἕν τι λαμβάνεται, ὥστε κἂν ἐλλιπὲς ᾖ τοῦτο καὶ μὴ ὁλόκληρον, ἀλλ’ ἀριθμεῖσθαί γε τρίτην, τῷ τάξιν τῶν ἡμερῶν ἔχειν τὴν τρίτην. οὕτω γὰρ καὶ ἄνθρωπον παρὰ πόδα γενόμενον ἔτι τυγχάνειν τῆς ὅλης προσηγορίας.

773 Scholia in Hom. Iliad. N. v. 41. Χρύσιππος δὲ ὁ Στωϊκὸς καὶ Διονύσιος ὁ Θρᾷξ δασύνουσι τὸ „αὐΐαχοι“ ἵν’ ᾖ ξηρόφωνοι.

774 Scholia in Hom. Iliad. O. v. 241. ἀμφὶ ἓ γιγνώσκων· —— Χρύσιππος δὲ ψιλοῦν τὸ ε ὡς περισσεῦον, καί φησιν „ἀμφιγνοῶν ἀντὶ τοῦ ἀντιβάλλων.“

775 Scholia in Hom. Iliad. X 212. μέσσα· Χρύσιππος ῥῦμα γράφει· τὴν γὰρ ῥοπὴν τοῦ ζυγοῦ ῥύμην καλεῖσθαι.

776 Scholia in Hom. Odyss. E. 240. περίκηλα· Ἀρίσταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος, τὰ περικεκαυμένα ὑπὸ ἡλίου. Χρύσιππος δὲ διῄρει, περὶ κῆλα, περισσῶς ξηρά.

777 Etymol. Magn. s. v. ἐπικυνεῖν (p. 361, 13 Gaisf. ). καὶ Χρύσιππος γράψει Κυλλήνιος Ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει——Φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέρας ὡς Ὅμηρος „ὅτε μνησαίατο κοίτου“ οὐχ ὅτι ὀνειρόπομπος ἦν ἀλλ’ ὅτι ὕπνου ἡδέος αἴτιος.